**αἰολικὸν ἀναπαιστικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν**

Trich. 384. 10 sqq. περὶ αἰολικοῦ. τοιοῦτόν ἐστιν, ὅσον τέως κατὰ τὸ τετράμετρον (*scil.* ἀναπαιστικόν) καταληκτικὸν εἰς συλλαβὴν καὶ τὸ·

νόες γὰρ ἀδρανέες ἄμμιν ἀνάλκιδες ἀπροτίοπτοι ἀβληχροί.

ἡμῖν δὲ τοῦτο τὸ ἔπος εἰς παράδειγμα τέθειται τοῦ αἰολικοῦ ἀναπαιστικοῦ· τὸ γὰρ αἰολικὸν ὡς ἔφαμεν ἀναπαιστικὸν τὸν καταρχὰς πόδα ἴαμβον δέχεται, τοὺς δὲ ἐφεξῆς ὁμοίως τῷ ἀναπαιστικῷ σπονδείους ἢ ἀναπαίστους ἀδιαφόρως καὶ τὸν τελευταῖον σπονδεῖον ἢ τροχαῖον διὰ τὸ ἀδιάφορον, ὅτε ἐστὶ καταληκτικὸν εἰς δισύλλαβον. ἔστιν οὖν τὸ ῥηθὲν ἔπος αἰολικὸν τετράμετρον ἀναπαιστικὸν καταληκτικὸν εἰς συλλαβήν, ὅμοιον τῷ ἀριστοφανείῳ ἀναπαιστικῷ. [*P.S.*]